TECHE
UDINE

MANOSCRITTI

FONDO PRINCIPALE

Manoscritto n. **P_MSS_1433_VI**

Nel Fondo Principale sono confluiti la maggior parte dei lasciti manoscritti pervenuti alla Biblioteca Civica «Vincenzo Joppi» nel corso del tempo: si tratta perciò di un fondo composito nel quale è possibile trovare manoscritti di argomento liturgico, scientifico, giuridico, botanico e altro.

Collocazione:

Biblioteca Civica "Vincenzo Joppi", Udine
https://www.techeudine.it/fondo-principale
https://www.sbhu.it/

6

Ms. 743/ 6
BIBLIOTECA CIVICA DI UDINE

disegni espressamente ese-
rappresentanti, al vivo, le
...ltri e pietose sventure.

Ἡ τῶν Νεκρῶν Ἀκολουθία,

ἣν ἐκ φημισθείσης λατίνης ἐκδόσεως εἰς τὴν τῶν Ἑλλήνων φωνὴν ὑπὲρ χρήσεως αὐτοῦ μετέφρασεν Ἰωάννης Φράγκισκος τοῦ Βαγγιερίου ὁ Θεόλογος καὶ Ἀρχιμανδρίτης τῶν Λατισανενσίων. Ἔτει Κυρίου χιλιοστῷ ὀκτακοσιαστῷ τεσσαρακοσταίῳ πέμπτῳ (X|H|HHHΔΔΔΠ). Ἔτη ἐστὶ δεκατέσσαρα ὅτε πρὸς τὸ ποιμανεῖν δεῦρο ταλαιπωρότατος ἦλθεν.

Εἰς Ἑσπερινόν.

Ἀντιφωνὴ (ἀπολελυμένως ἄρχεται). Εὐαρεστήσω ἐνώπιον Κυρίου ἐν χώρᾳ ζώντων.

Ψαλμὸς ριδ (114).

Ἠγάπησα, ὅτι εἰσακούσει ὁ Κύριος * τῆς φωνῆς τῆς δεήσεώς μου.

Ὅτι ἔγκλινεν τὸ οὖς αὐτοῦ πρὸς μέ * καὶ ἐν ταῖς ἡμέραις μου κατακαλήσομαι.

Κεκύκλωσάν με ὠδῖνες θανάτου * καὶ κίνδυνοι ᾅδου εὑρήκασί με.

Θλῖψιν καὶ ὀδύνην εὗρον * καὶ τὸ ὄνομα τοῦ Κυρίου ἐπεκαλεσάμην.

Ὦ Κύριε ῥῦσαι τὴν ψυχήν μου * ἐλεήμων ὁ Κύριος καὶ δίκαιος καὶ ὁ Θεὸς ἡμῶν ἐλεήσει.

Φυλάσσων τὰ νήπια ὁ Κύριος * ἐταπεινώθην καὶ ἐλευθέρωσέ με.

Ἐπίστρεψον ὦ ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου *

2· ὅτι ὁ Κύριος εὐηργέτησέ σε.

Ὅτι ἐξείλετο τὴν ψυχήν μου ἐκ θανάτου, τοὺς μὲν ὀφθαλμούς μου ἀπὸ δακρύων, τοὺς δὲ πόδας μου ἀπὸ ὀλισθήματος.

Εὐαρεστήσω ἐνώπιον Κυρίου ἐν χώρᾳ ζώντων.

Ἀνάπαυσιν αἰώνιον δώρησον αὐτοῖς Κύριε, καὶ φῶς αἰώνιον φεγγέτω αὐτοῖς.

Ἀντίφ. Εὐαρεστήσω ὡς ἄνω.

Ἀντίφ. Οἴμοι Κύριε, ὅτι ἡ παροικία μου ἐμακρύνθη.

Ψαλμὸς ριθ (119).

Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα, καὶ εἰσήκουσέ μου.

Κύριε ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων καὶ ἀπὸ γλώσσης δολίας.

Τί δοθείη σοι καὶ τί προστεθείη σοι πρὸς γλῶσσαν δολίαν;

Τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα σὺν τοῖς

ἄνθραξι τοῖς ἐρημικοῖς

Οἴμοι, ὅτι ἡ παροικία μου ἐμακρύνθη· κατε-
σκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ· πολλὰ
παρῴκησεν ἡ ψυχή μου

Μετὰ τῶν μισούντων τὴν εἰρήνην, ἤμην εἰρηνι-
κός· ὅταν ἐλάλουν αὐτοῖς ἐπολέμουν με δωρεάν.

Ἀνάπαυσιν αἰώνιον κτλ

Ἀντι. Οἴμοι Κύριε … αἰῶ

Ἀντ. Κύριος φυλάξει σε ἀπὸ παντὸς τοῦ κακοῦ,
φυλάξει τὴν ψυχήν σου ὁ Κύριος

Ψαλμὸς ρκ 120

Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει
ἡ βοήθειά μου

Ἡ βοήθειά μου παρὰ Κυρίου, τοῦ ποιήσαντος τὸν
οὐρανὸν καὶ τὴν γῆν

Μὴ δώῃς εἰς σάλον τὸν πόδα σου, μηδὲ νυ-
στάξῃ ὁ φυλάσσων σε

Ἰδοὺ

Ἰδοὺ οὐ νυστάξει οὐδὲ ὑπνώσει ὁ φυλάσσων
τὸν Ἰσραήλ.

Κύριος φυλάξει σε Κύριος σκέπη σου, ἐπὶ
χεῖρα δεξιάν σου

Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ σε-
λήνη τὴν νύκτα

Κύριος φυλάξει σε ἀπὸ παντὸς τοῦ κακοῦ,
φυλάξει τὴν ψυχήν σου ὁ Κύριος.

Κύριος φυλάξει τὴν εἴσοδόν σου καὶ τὴν ἔξοδόν
σου ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος

Ἀνάπαυσιν αἰώνιον Ἀλ

Ἀν. Κύριος φυλάξει σε ὡς ἄνω

Ἀν. Ἐὰν ἀνομίας παρατηρήσῃς Κύριε Κύριε
τίς ὑποστήσεται;

Ψαλμὸς ρκθ΄ (129)

Ἐκ βαθέων ἐκέκραξά σοι Κύριε, Κύριε εἰσ-
άκουσον τῆς φωνῆς μου

Γενηθήτω τὰ ὦτά σου προσέχοντα ^ εἰς τὴν
φωνὴν τῆς δεήσεώς μου
Ἐὰν ἀνομίας παρατηρήσῃς Κύριε ^, Κύριε τίς
ὑποστήσεται,
Ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστι ^, καὶ ἕνεκεν τοῦ
νόμου σου ὑπέμεινά σε Κύριε.
Ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον αὐτοῦ ^ ἠλ-
πισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον
Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτὸς ^ ἐλπισά-
τω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.
Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος ^ καὶ πολλὴ παρ'
αὐτῷ λύτρωσις
Καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ^ ἐκ πασῶν
τῶν ἀνομιῶν αὐτοῦ
Ἀνάπαυσιν αἰώνιον δώρησαι αὐτοῖς Κύριε κτλ.
Ἀντίφ. Ἐὰν ἀνομίας ὡς ἄν
Ἀ. Τὰ ἔργα τῶν χειρῶν σου Κύριε μὴ καταφρονή-
σῃς.

Ψαλμὸς ρλζ΄

Ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ καρδίᾳ μου, ὅτι ἤκουσας τὰ ῥήματα τοῦ στόματός μου.

Ἐν ὄψει τῶν Ἀγγέλων ψαλῶ πρὸς σοί, καὶ προσκυνήσω πρὸς ναὸν τὸν ἅγιόν σου, καὶ ἐξομολογήσομαι τῷ ὀνόματί σου.

Ἐπὶ τῷ ἐλέει καὶ τῇ ἀληθείᾳ σου, ὅτι ἐμεγάλυνας ἐπὶ πᾶν τὸ ὄνομα τὸ ἅγιόν σου.

Ἡ ἂν ἡμέρα ἐπικαλέσωμαί σε, εἰσάκουσόν μου, πολυωρήσεις ἐν ψυχῇ μου τὴν δύναμιν.

Ἐξομολογησάσθωσάν σοι Κύριε πάντες οἱ βασιλεῖς τῆς γῆς, ὅτι ἤκουσαν πάντα τὰ ῥήματα τοῦ στόματός σου.

Καὶ ᾀσάτωσαν ἐν ὁδοῖς τοῦ Κυρίου, ὅτι μεγάλη ἐστὶν ἡ δόξα Κυρίου.

Ὅτι ὑψηλὸς ὁ Κύριος καὶ τὰ ταπεινὰ ἐφορᾷ, καὶ τὰ ὑψηλὰ ἀπὸ μακρόθεν γινώσκει.

Ἐὰν πορευθῶ ἐν μέσῳ θλίψεως, ζήσεις με· καὶ

ἐπ' ὀργὴν τῶν ἐχθρῶν μου ἐξέτεινας χεῖράς σου,
καὶ ἔσωσέ με ἡ δεξιά σου.

Ὁ Κύριος ἀνταποδώσει ὑπὲρ ἐμοῦ· Κύριε τὸ ἔλεός σου εἰς τὸν αἰῶνα· τὰ ἔργα τῶν χειρῶν σου μὴ καταφρονήσῃς.

Ἀνάπαυσιν αἰώνιον κτλ.

Ἀντ. Τὰ ἔργα ὡς ἄνω.

Στίχ. Ἤκουσα φωνῆς ἐξ οὐρανοῦ λεγούσης μοι.

Ἀπόκρισις Μακάριοι νεκροὶ οἱ ἐν τῷ Κυρίῳ ἀποθνήσκοντες.

Εἰς τὸ Μεγαλύνει Ἀντ. Πᾶν τι δίδωσί μοι ὁ Πατὴρ πρὸς ἐμὲ ἐλεύσεται· καὶ τὸν πρὸς ἐμὲ ἐλθόντα οὐ μὴ ἐκβάλω ἔξω.

Ὠδὴ τῆς Θεοτόκου.

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον.

Καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ·
ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.
Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς· καὶ ἅγιον
τὸ ὄνομα αὐτοῦ.
Καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν· τοῖς
φοβουμένοις αὐτόν.
Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ· διεσκόρπισεν
ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.
Καθεῖλε δυνάστας ἀπὸ θρόνων· καὶ ὕψωσε ταπεινούς.
Πεινῶντας ἐνέπλησεν ἀγαθῶν· καὶ πλουτοῦντας
ἐξαπέστειλε κενούς.
Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ· μνησθῆναι ἐ-
λέους αὐτοῦ.
Καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν· τῷ
Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ εἰς τὸν αἰῶνα.
Ἀνάπαυσιν αἰώνιον [illegible]
[illegible] Πάτερ [illegible] ὁ Πατὴρ [illegible]

Ἀλληλούϊα· ψαλμὸς Αἴνει ἡ ψυχή μου τὸν· Ἐξ βα-
θείων εἰς τέλος τῶν αἴνων ὁ λέγεται ἐν τῇ
[illegible] Ἀπομνημονεύομεν [illegible] τῶν πι-
στῶν ἀποθανόντων, [illegible]
[illegible] καὶ λόγους τῶν ἀποθανόντων μό-
νον· ἄλλοτε ἀεὶ λέγεται

Ψαλμὸς [illegible]

Αἴνει ἡ ψυχή μου τὸν Κύριον· αἰνέσω τὸν Κύριον ἐν
ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου, ἕως ὑπάρχω.
Μὴ πεποίθατε ἐπ' ἄρχοντας, ἐφ' υἱοὺς ἀν-
θρώπων, οἷς οὐκ ἔστι σωτηρία.
Ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ καὶ ἐπιστρέψει εἰς
τὴν γῆν αὐτοῦ· ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάν-
τες οἱ διαλογισμοὶ αὐτῶν.
Μακάριος οὗ ὁ Θεὸς τοῦ Ἰακὼβ βοηθὸς αὐτοῦ,
ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ, τὸν
ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς.

10 Τὸν φυλάσσοντα ἀλήθειαν εἰς τὸν αἰῶνα ποιοῦντα
κρίμα τοῖς ἀδικουμένοις· διδόντα τροφὴν τοῖς
πεινῶσι.
Ὁ Κύριος διαλύει πεπεδημένους· ὁ Κύριος κατα-
λάμπει τυφλούς.
Ὁ Κύριος ἀνορθοῖ τοὺς κατερραγμένους· ὁ Κύριος
ἀγαπᾷ δικαίους.
Ὁ Κύριος φυλάσσει τοὺς προσηλύτους· ὀρφανὸν
καὶ χήραν ἀναλήψεται, καὶ ὁδὸν τῶν ἁμαρ-
τωλῶν ἀφανιεῖ.
Βασιλεύσει ὁ Κύριος εἰς τὸν αἰῶνα ὁ Θεός σου Σι-
ὼν εἰς γενεὰν καὶ γενεάν.
Ἀνάπαυσιν αἰώνιον δώρησαι αὐτοῖς Κύριε καὶ
τοῖς αἰωνίοις [illegible] χώροις.
Κύριε ἐλέησον. Χριστὲ ἐλέησον. Κύριε ἐλέησον.
Πάτερ ἡμῶν κρυφῇ. Ε. Καὶ μὴ εἰσενέγκῃς
ἡμᾶς εἰς πειρασμόν. Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ

πονηροῦ. Ἐ. Ἀπὸ τῆς πύλης ᾅδου
Λ. Ῥῦσαι Κύριε τὰς ψυχὰς αὐτῶν
Ἐ. Ἀναπαυθήτωσαν ἐν εἰρήνῃ. Λ. Ἀμήν.
Ἐ. Κύριε εἰσάκουσον τῆς προσευχῆς μου
Λ. Καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθέτω
Ἐ. Ὁ Κύριος μεθ' ὑμῶν
Λ. Καὶ μετὰ τοῦ πνεύματός σου.

Εὐχὴ αʹ

Ὁ Θεὸς ὅσπερ μεταξὺ ἀποστολικῶν ἱερέων
τοὺς θεράποντάς σου ἀρχιερατικῇ ἢ ἱεροφαντικῇ
ἀξίᾳ ἰσχύεσθαι ἐποίησας· παράσχου δεόμεθα ἵνα
τῇ ἀϊδίῳ ἔτι κοινωνίᾳ αὐτῶν ἐπισυνάπτωνται.
Ὁ Θεὸς συγγνώμης δοτὴρ καὶ τῆς ἀνθρωπίνης σωτηρίας ἐραστὰ δεόμεθα τῆς ἐπιεικείας σου, ὅπως
τοὺς τοῦ συναγγέλματος ἡμῶν ἀδελφοὺς, ἀγχιστεῖς,
καὶ εὐεργέτας ἐκ τοῦ αἰῶνος διαβάντας, μα-
καρίας Μαρίας τῆς ἀειπαρθένου ἱκετευούσης σὺν

πᾶσι τοῖς Ἁγίοις σου, τῆς ἐν Χριστῷ μακαριότητος κοινωνίαν ἀπέλαβε συγχωρήσεως.

Ὁ Θεὸς πάντων τῶν πιστῶν κτίστα καὶ λυτρωτά, ταῖς τῶν θεραπόντων καὶ θεραπαινῶν σου ψυχαῖς τῶν πασῶν τῶν ἁμαρτιῶν ἄφεσιν παράσχου, ὅπως, ἣν ἀεὶ ἐπεθύμησαν, οἰκτραῖς δεήσεσιν τῆς σῆς εὐσπλαγχνίας τύχωσιν. Ὃς ζῇς καὶ βασιλεύεις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὑπὲρ τοῦ Πατρὸς καὶ τῆς Μητρὸς

Εὐχή

Θεὸς ὅς γε ἡμῖν πατέρα καὶ μητέρα τιμᾶν κεκέλευκας, ἐλέησον πρᾴως τὰς ψυχὰς τοῦ πατρός (Βερνάρδου) καὶ τῆς Μητρός μου (Θ[illegible]) καὶ τὰς ἁμαρτίας αὐτῶν ἄφες· ἐμὲ δὲ αὐτοὺς ἐν τῇ λαμπρότητι τῆς ἀϊδίου χαρᾶς ποίησον ὁρᾶν. Διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὃς μετὰ σοῦ ζῇ καὶ βασιλεύει ἐν ἑνότητι τοῦ Πνεύματος Ἁ-

νιῦ Θεὸς εἰς πάντας τοὺς αἰῶνας τῶν αἰώνων. Α.

Εἰ[illegible] ἀχλαι[illegible] τὴν Τ[illegible]

Εὐχὴ [illegible]

Ἀπόλυσον δεόμεθα Κύριε τὴν ψυχὴν τοῦ θεράποντός (τῆς θεραπαίνης) (Δεῖνα) ὅπως ἀπαλλαγεὶς (ἀπαλλαγεῖσα) αἰῶνος σοὶ ζήσῃ· καὶ ἅπερ διὰ εὐθραστοῦ σαρκὸς ἐν τῇ πρὸς ἀνθρώπους συνουσίᾳ ἥμαρτε. Σὺ τῇ συγγνώμῃ ἐλεοιστάτης εὐσεβείας ἀπόσμηξον. Διὰ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Εἰ[illegible]

Πρὸς τὸν Βασιλέα ὑπὲρ τὰ πάντα ζῆν, δεῦτε προσκυνήσωμεν. Ψαλμὸς [illegible]

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ ἀλαλάξωμεν τῷ Θεῷ τῷ σωτῆρι ἡμῶν προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει καὶ ἐν ψαλμοῖς ἀλαλά-

ξωμεν

ξωμεν αὐτῷ.

Πρὸς τὸν βασιλέα ὑπὲρ τὰ πάντα γῆ κ. τ.

Ὅτι Θεὸς μέγας Κύριος καὶ βασιλεὺς μέγας ὑπὲρ
πάντας τοὺς θεούς, ὅτι οὐκ ἀπώσει Κύριος τὸν δῆμον
αὐτοῦ, ὅτι ἐν τῇ χειρὶ αὐτοῦ πάντα τὰ πέρατα τῆς γῆς
καὶ τὰ ὕψη τῶν ὀρέων αὐτὸς ὁρᾷ.

Δεῦτε προσκυνήσωμεν.

Ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα καὶ αὐτὸς ἐποίησεν αὐ-
τὴν καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν· δεῦτε
προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ καὶ κλαύσω-
μεν ἐναντίον Κυρίου τοῦ ποιήσαντος ἡμᾶς· ὅτι αὐ-
τός ἐστιν ὁ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαὸς αὐτοῦ καὶ πρό-
βατα νομῆς αὐτοῦ.

Πρὸς τὸν βασιλέα ἀλλ.

Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκλη-
ρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρα-
σμῷ κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ οὗ

ἐπείρασάν με οἱ πατέρες ὑμῶν ἐδοκίμασάν με καὶ 15.
εἶδον τὰ ἔργα μου.

Δεῦτε προσκυνήσωμεν

Τεσσαράκοντα ἔτη προσώχθισα τῇ γενεᾷ ἐκείνῃ.
καὶ εἶπα ἀεὶ πλανῶνται τῇ καρδίᾳ· αὐτοὶ δὲ οὐκ
ἔγνωσαν τὰς ὁδούς μου, ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου,
εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.

Πρὸς τ̃ βασιλέα [illegible] λ

Ἀνάπαυσιν αἰώνιον δώρησον αὐτοῖς Κύριε. Καὶ
φῶς αἰώνιον φεγγέτω αὐτοῖς.

Δεῦτε προσκυνήσωμεν

Πρὸς τ̃ βασιλέα [illegible] λ [illegible] προσ-
κυνήσωμεν.

Ἐν [illegible] Νυκ[illegible] Τῇ [illegible] Π[illegible].

Ἀν[illegible] Κατεύθυνον Κύριε ὁ Θεός μου ἐνώπιόν
σου τὴν ὁδόν μου.

Ψαλμὸς [illegible]

Τὰ ῥήματά μου ἐνώτισαι Κύριε, σύνες τῆς
κραυγῆς μου
Πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ὁ βασιλεύς μου
καὶ Θεός μου
Ὅτι πρὸς σὲ προσεύξομαι Κύριε πρωῒ εἰσάκουσον
τῆς φωνῆς μου
Τὸ πρωῒ παραστήσομαί σοι καὶ ἐπόψομαι, ὅτι οὐχὶ
Θεὸς θέλων ἀνομίαν σὺ εἶ
Οὐδὲ κατοικήσει παρά σοι κακοήθης, οὐδὲ δια-
μενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου
Ἐμίσησας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν, ἀ-
πολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος
Ἄνδρα αἱμάτων καὶ δόλιον, βδελύξεται ὁ Κύριος, ἐ-
γὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου,
Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, προσκυνήσω πρὸς
ναὸν τὸν ἅγιόν σου ἐν φόβῳ σου
Κύριε ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου ἕνεκα

τῶν ἐχθρῶν μου κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν μου

ὅτι οὐκ ἔστιν ἐν στόματι αὐτῶν ἀλήθεια, ἡ καρδία

αὐτῶν ματαία

Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν ταῖς γλώσ:

σαις αὐτῶν ἐδολιοῦσαν, κρῖνον αὐτοὺς ὁ Θεός

Ἀποπεσάτωσαν ἀπὸ διαβουλιῶν αὐτῶν, κατὰ τὸ πλῆ:

θος τῶν ἀσεβειῶν αὐτῶν ἔξωσον αὐτούς, ὅτι παρε:

πίκρανάν σε Κύριε

Καὶ εὐφρανθήτωσαν πάντες οἱ ἐλπίζοντες ἐπὶ σοί.

εἰς αἰώνιον ἀγαλλιάσονται καὶ κατασκηνώσεις ἐν αὐτοῖς.

Καὶ καυχήσονται ἐπὶ σοὶ πάντες οἱ ἀγαπῶντες τὸ ὀ

νομά σου, ὅτι σὺ εὐλογήσεις δίκαιον.

Κύριε ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς

[illegible] αἰώνιον [illegible]

[illegible] Κατεύθυνον ὡς ἂν..

[illegible] Ἐπίστρεψον Κύριε ῥῦσαι τὴν ψυχήν μου, ὅτι

οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου.

Ψαλμὸς ϛ (6)

Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με· μηδὲ τῇ ὀρ
γῇ σου παιδεύσῃς με.
Ἐλέησόν με Κύριε, ὅτι ἀσθενής εἰμι· ἴασαί με
Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου
Καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα· σὺ δὲ Κύρι
ε ἕως πότε,
Ἐπίστρεψον Κύριε καὶ ῥῦσαι τὴν ψυχήν μου· σῶ
σόν με ἕνεκεν τοῦ ἐλέους σου.
Ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου·
ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι.
Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου λούσω καθ' ἑκά
στην νύκτα τὴν κλίνην μου· ἐν δάκρυσί μου τὴν
στρωμνήν μου βρέξω.
Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου· ἐπαλαιώ
θην ἐν πᾶσι τοῖς ἐχθροῖς μου.
Ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνο

μιαν, ὅτι εἰσήκουσε Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου.
Εἰσήκουσε Κύριος τῆς δεήσεώς μου· Κύριος τὴν προσ-
ευχήν μου προσεδέξατο.
Αἰσχυνθείησαν καὶ ταραχθείησαν ἅπαντες οἱ
ἐχθροί μου· ἀποστραφείησαν καὶ καταισχυνθείησαν
σφόδρα διὰ τάχους.
Ἀνάπαυσιν αἰώνιον.
Ἀλλ. Ἐπίστρεψον Κύριε ω . . .
Ἀλλ. Μήποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν μου,
μὴ ὄντος λυτρουμένου μηδὲ σῴζοντος.

Ψαλμὸς 7 (7)

Κύριε ὁ Θεός μου ἐπὶ σοὶ ἤλπισα· σῶσόν με
ἐκ πάντων τῶν διωκόντων με, καὶ ῥῦσαί με.
Μήποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν μου, μὴ
ὄντος λυτρουμένου, μηδὲ σῴζοντος.
Κύριε Θεός μου, εἰ ἐποίησα τοῦτο, εἰ ἔστιν ἀ-
δικία ἐν χερσί μου.

Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά, ἀποπέσοιμι ἄρα τῶν ἐχθρῶν μου κενός.

Καταδιώξαι ὁ ἐχθρὸς τὴν ψυχήν μου καὶ καταλάβοι καὶ καταπατήσαι εἰς γῆν τὴν ζωήν μου, καὶ τὴν δόξαν μου εἰς χοῦν κατασκηνώσαι.

Ἀνάστηθι Κύριε ἐν ὀργῇ σου, καὶ ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν μου.

Καὶ ἐξεγέρθητι Κύριε ὁ Θεός μου ἐν προστάγματι ᾧ ἐνετείλω, καὶ ἡ συναγωγὴ λαῶν κυκλώσει σε.

Καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεψον· ὁ Κύριος κρινεῖ λαούς.

Κρῖνόν με κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν ἀκακίαν μου ἐπ' ἐμοί.

Συντελεσθήτω δὴ πονηρία ἁμαρτωλῶν, καὶ κατευθυνεῖς δίκαιον, ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεός.

Δικαία ἡ βοήθειά μου παρὰ τοῦ Κυρίου, τοῦ
σώζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ.
Ὁ Θεὸς κριτὴς δίκαιος, ἰσχυρὸς καὶ μακρόθυ-
μος, μὴ ὀργὴν ἐπάγων καθ᾽ ἑκάστην ἡμέραν,
ἐὰν μὴ ἐπιστραφῆτε· τὴν ῥομφαίαν αὐτοῦ στιλβώ-
σει, τὸ τόξον αὐτοῦ ἐνέτεινατο καὶ ἡτοίμασεν αὐτό.
Καὶ ἐν αὐτῷ παρεσκευάσατο σκεύη θανάτου· τὰ
βέλη αὐτοῦ τοῖς καιομένοις ἐξειργάσατο.
Ἰδοὺ ὠδίνησεν ἀδικίαν, συνελήφατο λύπην,
καὶ ἔτεκεν ἀνομίαν.
Λάκκον ὤρυξε καὶ ἀνέσκαψεν αὐτόν, καὶ ἐμ-
πεσεῖται εἰς βόθρον ὃν εἰργάσατο.
Ἐπιστραφήσεται ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐ-
τοῦ, καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀνομία αὐτοῦ καταβήσεται.
Ἐξομολογήσομαι τῷ Κυρίῳ κατὰ τὴν δικαιοσύνην
αὐτοῦ, καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου.
Ἀνάπαυσιν αἰώνιον

... ἰδὴ ποτε ...

... Ἀπὸ πύλης ᾅδου

... Ῥῦσαι Κύριε τὰς ψυχὰς αὐτῶν

Πάτερ ἡμῶν ... ἐπὶ λ...

Η Αν... Π... Ι...

Φεῖσαι μου Κύριε· οὐδὲν γάρ εἰσιν αἱ ἡμέραι μου.
Τί ἐστιν ἄνθρωπος, ὅτι ἐμεγάλυνας αὐτόν, ἢ
ὅτι προσέχεις αὐτῷ τὴν καρδίαν σου; Ἐπισκέ-
πτῃ αὐτὸν ὄρθρου, ἢ εἰς ἀνάπαυσιν κρινεῖς αὐ-
τόν; Ἕως τίνος οὐκ ἐᾷς με, οὐδὲ προΐῃ με,
ὅπως καταπίω τὸν πτύελόν μου; Ἥμαρτον· τί
ἐποίησά σοι ὁ φύλαξ ἀνθρώπων; Διατί ἔ-
θου με ἐναντίον σου, καὶ εἰμὶ ἐπὶ σοὶ
φορτίον; Διατί οὐκ ἐποιήσω τῆς ἀνομίας
μου λήθην, διατί οὐκ ἀφαιρῇ τὴν ἀνομίαν μου; Ἰ-
δοὺ νῦν εἰς κόνιν ἀπελεύσομαι· ὁ δὲ τόπος
... ἐξήτησάς με οὐκ ἔτι εἰμί.

Απόκρισις Πιστεύω ότι ὁ λυτρωτής μου ζῇ καὶ εν εσχάτῃ ἡμέρᾳ ἐπὶ γῆς ἀναστῆσαι μέλλω [illegible] ἐν τῇ σαρκί μου ὄψομαι Θεὸν τὸν λυτρω=την μου.

Στίχος Ὃν θεάσασθαι μέλλων ἐγὼ αὐτὸς καὶ ουκ ἄλλος καὶ οἱ ὀφθαλμοί μου ὀψόμενοι εἰσίν. καὶ ἐν τῇ σαρκί μου [illegible]

Ἀνάγνωσμα [illegible] — Ἰὼβ ι (α)

Αχθεται ἡ ψυχή μου τῆς ζωῆς μου προήσω κατ' ἐμοῦ τὰ λόγιά μου λαλήσω ἐν πικρίᾳ ψυχῆς μου. Ἐρῶ πρὸς Θεόν, μή με καταγνώσκῃς· δίδαξέ μοι διατί με οὕτως ἔκρινας. Ἢ καλόν σοι δοκεῖ ἐὰν [illegible] με, ὅτι ἀπαρνήσω ἔργον τῶν χειρῶν σου, [illegible] ἀσεβῶν προσέσχες. Διατί ὀφθαλμοί σοι σαρκώδεις εἰσίν ἢ καθὼς ὁρᾷ ἄνθρωπος σὺ ἔτι βλέψῃ. Διατί καθὼς ἡμέραι ἀνθρώπου αἱ ἡ=μέραι σου καὶ τὰ ἔτη σου καθὼς οἱ ἀνθρώπινοι εἰσί

— χρόνοι ὅτι ἂν ᾔτησας τὴν ἀνομίαν μου καὶ τὰς
ἁμαρτίας μου ἐξιχνίασας; Οἶδας γὰρ οὐχ ἠσέ-
βησα· ἀλλὰ τίς ἐστιν ὁ ἐκ τῶν χειρῶν σου ἐ-
ξαιρούμενος.

Ἦχος ... Ἀνεγείρας τὸν Λάζαρον ἐκ μνημείου συ-
σώσας ... Σὺ δὲ αὐτοῖς Κύριε δώρησον ἄφε-
σιν καὶ συγγνώμης τόπον.

... Ὦ [illegible] κρίνει [illegible] νεκροὺς ...
... [illegible] Σὺ δὲ αὐτοῖς ...

Ἀνάγνωσμα Τρίτη Ἰὼβ ι(10)

Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με ὅ-
λον ἐν περίκυκλῳ καὶ οὕτως ἐξαίφνης ἔρριψάς με.
Μνήσθητι δέομαι ὅτι καθὼς πηλόν με ἔπλα-
σας· εἰς δὲ γῆν με πάλιν ἀποστρέφεις. Ἢ οὐχ
ὥσπερ γάλα με ἤμελξας καὶ ὥσπερ τυρόν με
ἐπήξας· δέρμα δὲ καὶ κρέας με ἐνέδυσας·
ὀστέοις δὲ καὶ νεύροις με ἐνεῖρας, ζωὴν μὲν καὶ

(συνεπήγνυξας)

ἔλεος ἔθου παρ' ἐμοί· ἡ δὲ ἐπισκοπή σου ἐ-
φύλαξε τὸ πνεῦμα μου.

[illegible] Κύριε ὅταν ἥξῃς κρῖναι γῆν ποῦ με κα-
λύψω ἀπὸ προσώπου τῆς ὀργῆς σου· ὅτι ἥ-
μαρτον λίαν ἐν ζωῇ μου.

[illegible] Ὑπὲρ τῶν ἀνομημάτων μου περιφοβοῦμαι καὶ
ἐνώπιόν σου καταισχύνομαι ὅταν ἥξῃς κρῖναι,
μή μου καταγνοίης. Ὅτι ἥμαρτον ἐν [illegible]

Ἀνάπαυσιν αἰώνιον δώρησον αὐτοῖς, καὶ φῶς
αἰώνιον φεγγέτω αὐτοῖς. Ὅτι ἥμαρτον [illegible]

Ἐν [illegible]

[illegible] Εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν

(Ψαλμ. [illegible] 22)

Κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει· εἰς τό-
πον χλόης ἐκεῖ με κατεσκήνωσεν
Ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με· τὴν

ψυχήν μου ἐπέστρεψεν
ὡδήγησέ με ἐπὶ τρίβους δικαιοσύνης ἕνεκεν τοῦ
ὀνόματος αὐτοῦ.
Ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου οὐ φο-
βηθήσομαι κακά, ὅτι Σὺ μετ' ἐμοῦ εἶ
Ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου αὗται με παρε-
κάλεσαν.
Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν ἐξεναντίας
τῶν θλιβόντων με
Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου, καὶ τὸ ποτή-
ριον σου μεθύσκον ὡς κράτιστον.
Καὶ τὸ ἔλεός σου καταδιώξεταί με πάσας τὰς ἡ-
μέρας τῆς ζωῆς μου
Καὶ τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου εἰς μακρότητα ἡμερῶν
Ἀνάπαυσιν αἰώνιον κτλ. . . . . .
7. Εἰς τόπον χλόης . . ἄνω . . .
Ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου μὴ

μνησθῇς Κύριε.

Ιαλ ι

Πρὸς σὲ Κύριε ἦρα τὴν ψυχήν μου ὁ Θεός μου ἐπὶ σοὶ πέποιθα, μὴ καταισχυνθείην

Μηδὲ καταγελασάτωσάν με οἱ ἐχθροί μου· καὶ γὰρ πάντες οἱ ὑπομένοντές σε οὐ μὴ καταισχυνθῶσιν.

Αἰσχυνθήτωσαν πάντες οἱ ἀνομοῦντες διακενῆς

Τὰς ὁδούς σου Κύριε γνώρισόν μοι, καὶ τὰς τρίβους σου δίδαξόν με

Ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου καὶ δίδαξόν με, ὅτι Σὺ εἶ ὁ Θεὸς ὁ σωτήρ μου, καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν.

Μνήσθητι τῶν οἰκτιρμῶν σου Κύριε καὶ τὰ ἐλέη σου ἀπὸ τοῦ αἰῶνος ὄντα.

Ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου μὴ μνησθῇς.

Κατὰ τὸ ἔλεός σου μνήσθητί μου Σὺ ἕνεκεν τῆς χρηστότητός σου Κύριε.

Χρηστὸς καὶ εὐθὴς ὁ Κύριος· διὰ τοῦτο νομοθετή-
σει ἁμαρτάνοντας ἐν ὁδῷ.
Ὁδηγήσει πραεῖς ἐν κρίσει· διδάξει πραεῖς ὁ-
δοὺς αὐτοῦ.
Πᾶσαι αἱ ὁδοὶ Κυρίου ἔλεος καὶ ἀλήθεια, τοῖς ἐκ-
ζητοῦσι τὴν διαθήκην αὐτοῦ καὶ τὰ μαρτύρια αὐτοῦ.
Ἕνεκα τοῦ ὀνόματός σου Κύριε, ἱλάσῃ τῇ ἁμαρτίᾳ
μου· πολλὴ γάρ ἐστι.
Τίς ἐστιν ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον; νομο-
θετήσει αὐτῷ ἐν ὁδῷ ᾗ ᾑρετίσατο.
Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται, καὶ τὸ
σπέρμα αὐτοῦ κληρονομήσει γῆν.
Κραταίωμα Κύριος τῶν φοβουμένων αὐτόν, καὶ
ἡ διαθήκη αὐτοῦ τοῦ δηλῶσαι αὐτοῖς.
Οἱ ὀφθαλμοί μου διαπαντὸς πρὸς τὸν Κύριον, ὅτι
αὐτὸς ἐκσπάσει ἐκ παγίδος τοὺς πόδας μου.
Ἐπίβλεψον ἐπ᾽ ἐμὲ καὶ ἐλέησόν με, ὅτι μονο-

γενὴς καὶ πτωχός εἰμι ἐγώ

Α. Θλίψεις τῆς καρδίας μου ἐπληθύνθησαν· ἐκ
τῶν ἀναγκῶν μου ἐξάγαγέ με

Ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου· καὶ ἄφες
πάσας τὰς ἁμαρτίας μου

Ἴδε τοὺς ἐχθρούς μου, ὅτι ἐπληθύνθησαν· καὶ μῖσος
ἄδικον ἐμίσησάν με.

Φύλαξον τὴν ψυχήν μου καὶ ῥῦσαί με· μὴ καταισ-
χυνθείην ὅτι ἤλπισα ἐπὶ σέ.

Ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι· ὅτι ὑπέμει-
νά σε Κύριε.

Λύτρωσαι ὁ Θεὸς τὸν Ἰσραὴλ· ἐκ πασῶν τῶν
θλίψεων αὐτοῦ

Ἀνάπαυσιν αἰώνιον κτλ.

Α. .. Ἀνομίας .. ἀλ..

Α. Πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ Κυρίου ἐν
γῇ ζώντων.

Ψαλμὸς κς΄

Κύριος φωτισμός μου καὶ σωτήρ μου, τίνα φοβηθήσομαι;

Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου, ἀπὸ τίνος δειλιάσω;

Ἐν τῷ ἐγγίζειν ἐπ' ἐμὲ κακοῦντας, τὸ φαγεῖν τὰς σάρκας μου

Οἱ θλίβοντές με οἱ ἐχθροί μου, αὐτοὶ ἠσθένησαν καὶ ἔπεσαν.

Ἐὰν παρατάξωνται ἐπ' ἐμὲ παρεμβολή, οὐ φοβηθήσεται ἡ καρδία μου

Ἐὰν ἐπαναστῇ ἐπ' ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω.

Μίαν ᾐτησάμην παρὰ Κυρίου ταύτην ἐκζητήσω, τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου.

Καὶ τοῦ θεωρεῖν με τὴν τερπνότητα Κυρίου, καὶ

ἐπισκέπτεσθαι τὸν ναὸν αὐτοῦ.
Ὅτι ἔκρυψέ με ἐν σκηνῇ αὐτοῦ· ἐν ἡμέρᾳ κα-
κῶν ἐσκέπασέ με, ἐν ἀποκρύφῳ τῆς σκηνῆς αὐτοῦ.
Ἐν πέτρᾳ ὕψωσέ με· καὶ νῦν ὕψωσε τὴν κεφα-
λήν μου ἐπ' ἐχθρούς μου
Ἐκύκλωσα καὶ ἔθυσα ἐν τῇ σκηνῇ αὐτοῦ θυσίαν
ἀλαλαγμοῦ· ᾄσομαι καὶ ψαλῶ τῷ Κυρίῳ.
Εἰσάκουσον Κύριε τῆς φωνῆς μου ἧς ἐκέκραξα
πρὸς σὲ· ἐλέησόν με καὶ εἰσάκουσόν μου
Σοὶ εἶπεν ἡ καρδία μου· ἐξεζήτησα τὸ πρόσ-
ωπόν μου· τὸ πρόσωπόν σου Κύριε ζητήσω
Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ· καὶ μὴ
ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου.
Βοηθός μου γενοῦ· μὴ ἐγκαταλίπῃς με καὶ
μὴ ὑπερίδῃς ὁ Θεὸς ὁ σωτήρ μου
Ὅτι ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν
με· ὁ δὲ Κύριος προσελάβετό με

Ψαλμὸς κϛ΄

Κύριος φωτισμός μου καὶ σωτήρ μου, τίνα φοβηθήσομαι;

Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου, ἀπὸ τίνος δειλιάσω;

Ἐν τῷ ἐγγίζειν ἐπ' ἐμὲ κακοῦντας τοῦ φαγεῖν τὰς σάρκας μου,

Οἱ θλίβοντές με καὶ οἱ ἐχθροί μου, αὐτοὶ ἠσθένησαν καὶ ἔπεσαν.

Ἐὰν παρατάξωνται ἐπ' ἐμὲ παρεμβολή, οὐ φοβηθήσεται ἡ καρδία μου·

Ἐὰν ἐπαναστῇ ἐπ' ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω.

Μίαν ᾐτησάμην παρὰ Κυρίου, ταύτην ἐκζητήσω· τοῦ κατοικεῖν με ἐν οἴκῳ Κυρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου.

Καὶ τοῦ θεωρεῖν με τὴν τερπνότητα Κυρίου, καὶ

ἐπισκέπτεσθαι τὸν ναὸν αὐτοῦ.
Ὅτι ἔκρυψέ με ἐν σκηνῇ αὐτοῦ· ἐν ἡμέρᾳ κα-
κῶν ἐσκέπασέ με, ἐν ἀποκρύφῳ τῆς σκηνῆς αὐτοῦ.
Ἐν πέτρᾳ ὕψωσέ με· καὶ νῦν ὕψωσε τὴν κεφα-
λήν μου ἐπ' ἐχθρούς μου
Ἐκύκλωσα καὶ ἔθυσα ἐν τῇ σκηνῇ αὐτοῦ θυσίαν
ἀλαλαγμοῦ· ᾄσομαι καὶ ψαλῶ τῷ Κυρίῳ.
Εἰσάκουσον Κύριε τῆς φωνῆς μου ἧς ἐκέκραξα
πρὸς σέ· ἐλέησόν με καὶ εἰσάκουσόν μου
Σοὶ εἶπεν ἡ καρδία μου· ἐξεζήτησα τὸ πρόσ-
ωπόν μου· τὸ πρόσωπόν σου Κύριε ζητήσω
Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ· μὴ
ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου
Βοηθός μου γενοῦ· μὴ ἐγκαταλίπῃς με καὶ
μὴ ἀποσκορακίσῃς με ὁ Θεὸς ὁ σωτήρ μου
Ὅτι ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπον
με· ὁ δὲ Κύριος προσελάβετό με.

Νομοθέτησόν με Κύριε ἐν τῇ ὁδῷ σου καὶ
ὁδήγησόν με ἐν τρίβῳ εὐθείᾳ ἕνεκα τῶν ἐχ-
θρῶν μου.
Μὴ παραδῷς με εἰς ψυχὰς θλιβόντων
με, ὅτι ἐπανέστησάν μοι μάρτυρες ἄδικοι
καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ.
Πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ Κυρίου ἐν
γῇ ζώντων.
Ὑπόμεινον τὸν Κύριον ἀνδρίζου καὶ κραταιού-
σθω ἡ καρδία σου καὶ ὑπόμεινον τὸν Κύριον
Ἀνάπαυσιν αἰώνιον [illegible]
[illegible] Πιστεύω τοῦ ἰδεῖν [illegible]
Κατάστειλον αὐτὸν ὁ Κύριος μετ' ἀρχόντων
Μετ' ἀρχόντων λαοῦ αὐτοῦ.
Πατερ [illegible]

Ἰὼβ ιγ [illegible]

Ἀποκρίνου μοι· πόσαι εἰσὶν αἱ ἁμαρτίαι

μου τὸ ἰνουμί μου [illegible] μου τὸ ἔλλειμμά μου
ἐπιδεικνύοντα μοι. Διὰ τὸ πρόσωπόν σου κρύ-
πτεται, ἡγῆσαι δέ με ὑπεναντίον σοι; Πα-
ρὰ [illegible] κινούμενον ἀπὸ τοῦ [illegible] ὕψος
τὸ κράτος σου, τὴν καλάμην ξηρὰν καταδιώκεις.
Κατεγράψας γὰρ κατ' ἐμοῦ πικρότητα, τὰ ἁμα-
ρτήματα μου [illegible] ἐν τῇ νεότητι μου ἁμαρ-
τίαις. Ἔθου ἐν νεύρῳ τὸ πόδα μου, ἐφύλαξας
δὲ πάσας τὰς ὁδούς μου, τὰ καθ' [illegible] τῶν
ποδῶν μου [illegible]. Ὃς καθάπερ ἀσκὸς πέπα-
λαιωμένος ἢ ὥσπερ ἱμάτιον σητόβρωτον.
Α. Μνήσθητί μου ὁ Θεὸς ὅτι πνεῦμα
ἡ ζωή μου. Μὴ ἀποστῇς πρὸς ἐμὲ [illegible]
[illegible] Κύριε [illegible]
[illegible] φωνῆς μου. Μὴ ἀποστῇς [illegible]

Ὁ ἄνθρωπος γεννητὸς ἐκ γυναικὸς ὀλιγόβιος.

πληροῦται πολλῶν ταλαιπωριῶν· ὁ ὥσπερ ἀνθῶ-
βλαίνει καὶ συντρίβεται καὶ φεύγων καθὼς
σκιά, καὶ οὐ μὴ εἰς τὸ [illegible] Καὶ ἐτίμησω αὐ-
τῶν τοῦ ἀνοῖξαι τοὺς ὀφθαλμούς σου καὶ τὸ προστα-
ξαι αὐτὸν [illegible] σου [illegible] κρίσιν. Τίς [illegible]
[illegible] τὸν [illegible]μένον ἐκ ἀκαθάρτου
σπέρματος; Οὐχὶ σὺ ὁ μόνος ὤν; Βραχεῖαι αἱ
ἡμέραι τοῦ ἀνθρώπου [illegible] αὐτοῦ
[illegible] Εἰς πέρας αὐτοῦ ἔθηκες καὶ οὐ μὴ διέλθῃ.
[illegible]σονται. Ἀπόστα [illegible] ἀπ' αὐτοῦ ἵνα ἡ-
συχάσῃ ἕως ἂν [illegible] · Ἰδοὺ καθὼς [illegible]
[illegible] ἡ ἡμέρα [illegible]

Α[illegible]. Οἴμοι Κύριε [illegible] ἡμαρτον [illegible]
[illegible] τί πράξω ἄθλιος. Ποῦ [illegible]
[illegible] Σὲ ὁ Θεός μου [illegible] ἐλέησόν με [illegible]
[illegible] γατην ἡμέραν

[illegible] Η ψυχή μου εἰς ἀγάπην [illegible] ἀλλὰ σὺ

Κύριε βοήθησον αὐτῇ — Ἐλέησόν με π ὁ ἅ.

Αναγνωσις Εκ η Ι ...

Τί μοι τοῦτο κποσσοιη ὅπως ἐν ᾅδῃ φυλά-
ξῃς με καὶ κρύψῃς με ἕως ἂν παύσηται ἡ ὀρ-
γή σου καὶ τάξῃς μοι χρόνον ἐν ᾧ μνείαν μου
ποιήσῃς, Πάλι δή οἱ νεκροὶ ἄνθρωπον πά-
λιν ζῆν, Πάσαις ταῖς ἡμέραις ὑπομενῶ καὶ περι-
μένω ... τὸ ἔλθῃ ... μου
Καλέσεις με καὶ ἐγὼ ἐπακούσομαί σοι τὰ δὲ
ἔργα τῶν χειρῶν σου προσέχων δεξιάν. Σὺ δὲ
τὰ διαβήματά μου ἠρίθμησας ἀλλὰ δὲν ...
μοι τὰ ἁμαρτήματά μου

Απόκ. Μὴ μνησικακήσῃς τῶν παραπτωμάτων
μου Κύριε ὅταν ἐλεύσῃ κρῖναι κόσμον διὰ
τοῦ πυρός

Στ. Οἴμοι Κύριε Θεὲ ...
τὴν ... μου ὅταν ἔλθῃς π ὁ ἅ.

Ἀνάπαυσιν αἰώνιον δώρησον αὐτοῖς Κύριε, καὶ φῶς αἰώνιον φεγγέτω αὐτοῖς. Ὅταν ἐλεύσῃ κρῖναι αἰῶνα διὰ τοῦ πυρός.

[illegible]

Ψαλμὸς λθ. (39.)

Ἀ[illegible] Εὐδόκησον Κύριε τοῦ ῥύσασθαί με,

Κύριε εἰς τὸ βοηθῆσαί μοι πρόσχες.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι.

Καὶ εἰσήκουσε τῆς δεήσεώς μου, καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας, καὶ ἀπὸ πηλοῦ ἰλύος.

Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατεύθυνε τὰ διαβήματά μου.

Καὶ ἐνέβαλεν εἰς τὸ στόμα μου ᾆσμα καινόν, ὕμνον τῷ Θεῷ ἡμῶν.

Ὄψονται πολλοὶ καὶ φοβηθήσονται, καὶ ἐλπιοῦσιν

ἐπὶ Κύριον.

Μακάριος ἀνὴρ οὗ ἐστι τὸ ὄνομα Κυρίου ἐλπὶς αὐ-
τοῦ, καὶ οὐκ ἐπέβλεψεν εἰς ματαιότητας καὶ μανίας
ψευδεῖς.

Πολλὰ ἐποίησας σὺ Κύριε ὁ Θεός μου τὰ θαυμά-
σιά σου, καὶ τοῖς διαλογισμοῖς σου οὐκ ἔστι τίς ὁ-
μοιωθήσεταί σοι

Ἀπήγγειλα καὶ ἐλάλησα, ἐπληθύνθησαν ὑπὲρ ἀριθμόν

Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, ὠτὰ δὲ κα-
τερτισάς μοι

Ὁλοκαύτωμα καὶ περὶ ἁμαρτίας οὐκ ᾔτησας, τότε
εἶπον ἰδοὺ ἥκω

Ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ τοῦ ποιῆ-
σαι τὸ θέλημά σου, ὁ Θεός μου ἐβουλήθην καὶ
τὸν νόμον σου ἐν μέσῳ τῆς κοιλίας μου

Εὐηγγελισάμην δικαιοσύνην ἐν ἐκκλησίᾳ μεγά-
λῃ, ἰδοὺ τὰ χείλη μου οὐ μὴ κωλύσω, Κύριε σὺ ἔγνως.

Τὴν δικαιοσύνην σου οὐκ ἔκρυψα ἐν τῇ καρδί-
ᾳ μου τὴν ἀλήθειάν σου καὶ τὸ σωτήριόν σου εἶπα.
Οὐκ ἔκρυψα τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου
ἀπὸ συναγωγῆς πολλῆς
Σὺ δὲ Κύριε μὴ μακρύνῃς τοὺς οἰκτιρμούς
σου ἀπ' ἐμοῦ τὸ ἔλεός σου καὶ ἡ ἀλήθειά σου διὰ
παντὸς ἀντιλάβοιντό μου
Ὅτι περιέσχον με κακὰ ὧν οὐκ ἔστιν ἀριθ-
μὸς κατέλαβόν με αἱ ἀνομίαι μου καὶ οὐκ ἠδυνή-
θην τοῦ βλέπειν
Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς
μου καὶ ἡ καρδία μου ἐγκατέλιπέ με
Εὐδόκησον Κύριε τοῦ ῥύσασθαί με Κύριε εἰς
τὸ βοηθῆσαί μοι πρόσχες
Καταισχυνθείησαν καὶ ἐντραπείησαν ἅμα οἱ ζη-
τοῦντες τὴν ψυχήν μου τοῦ ἐξᾶραι αὐτήν
Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω καὶ ἐντραπεί-

...σαν οἱ θέλοντές με κακά.
Κομισάσθωσαν παραχρῆμα αἰσχύνην αὐτῶν
οἱ λέγοντές μοι· εὖγε εὖγε.
Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ
πάντες οἱ ζητοῦντές σε καὶ εἰπάτωσαν διαπαν-
τός· μεγαλυνθήτω ὁ Κύριος οἱ ἀγαπῶντες τὸ
σωτήριόν σου.
Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης· Κύριος φροντιεῖ μου.
Βοηθός μου καὶ ὑπερασπιστής μου εἶ σύ· ὁ Θεός
μου μὴ χρονίσῃς.
Ἀνάπαυσιν αἰώνιον κτλ.
Ἐγὼ εἶπα· Κύριε ἐλέησόν με.
Ἴασαι Κύριε τὴν ψυχήν μου ὅτι ἥμαρτόν σοι.

Ψαλμὸς μ΄.

Μακάριος ὁ συνιῶν ἐπὶ πτωχὸν καὶ πένητα· ἐν
ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος.
Κύριος φυλάξαι αὐτὸν καὶ ζήσαι αὐτὸν καὶ μα-

μακαρίσαι αὐτὸν ἐν τῇ γῇ· καὶ μὴ παραδοῖ αὐ-
τὸν εἰς χεῖρας τῶν ἐχθρῶν αὐτοῦ.
Κύριος βοηθήσαι αὐτῷ ἐπὶ κλίνης ὀδύνης αὐ-
τοῦ· ὅλην τὴν κοίτην αὐτοῦ ἔστρεψας ἐν τῇ ἀρρω-
στίᾳ αὐτοῦ.
Ἐγὼ εἶπα· Κύριε ἐλέησόν με· ἴασαι τὴν
ψυχήν μου ὅτι ἥμαρτόν σοι.
Οἱ ἐχθροί μου εἶπαν κακά μοι· πότε ἀπο-
θανεῖται καὶ ἀπολεῖται τὸ ὄνομα αὐτοῦ;
Καὶ εἰ εἰσεπορεύετο τοῦ ἰδεῖν, μάτην ἐλάλει·
ἡ καρδία αὐτοῦ συνήγαγεν ἀνομίαν ἑαυτῷ.
Ἐξεπορεύετο ἔξω, καὶ ἐλάλει ἐπὶ τὸ αὐτό.
Κατ᾽ ἐμοῦ ἐψιθύριζον πάντες οἱ ἐχθροί μου·
κατ᾽ ἐμοῦ ἐλογίζοντο κακά μοι.
Λόγον παράνομον κατέθεντο κατ᾽ ἐμοῦ· μὴ ὁ
κοιμώμενος οὐχὶ προσθήσει τοῦ ἀναστῆναι;
Καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου ἐφ᾽ ὃν

ἤλπισα, ὁ ἐσθίων ἄρτους μου ἐμεγάλυνεν
ἐπ' ἐμὲ πτερνισμόν.
Σὺ δὲ Κύριε ἐλέησόν με καὶ ἀνάστησόν με καὶ
ἀνταποδώσω αὐτοῖς.
Ἐν τούτῳ ἔγνων, ὅτι τεθέληκάς με ὅτι οὐ μὴ
ἐπιχαρῇ ὁ ἐχθρός μου ἐπ' ἐμέ.
Ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου καὶ ἐβεβαίω-
σάς με ἐνώπιόν σου εἰς τὸν αἰῶνα.
Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ ἀπὸ τοῦ αἰ-
ῶνος καὶ εἰς τὸν αἰῶνα, γένοιτο, γένοιτο.
Ἀνάπαυσιν αἰώνιον κ. λ.
Ἀντ. Ἴασαι Κύριε ὡς ἀγ...
Ἀντ. Ἐδίψησεν ἡ ψυχή μου πρὸς Θεὸν τὸν ζῶν-
τα· πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ.

Ψαλμὸς μα'.

Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς
τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ ὁ

Θεοῦ μου

Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ἰσχυρὸν
τὸν ζῶντα· πότε ἥξω καὶ ὀφθήσομαι τῷ προ-
σώπῳ τοῦ Θεοῦ.

Ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ ἄρτος ἡμέρας
καὶ νυκτός, ἐν τῷ λέγεσθαί μοι καθ᾽ ἑκάστην
ἡμέραν· ποῦ ἐστιν ὁ Θεός σου;

Ταῦτα ἐμνήσθην καὶ ἐξέχεα ἐπ᾽ ἐμὲ τὴν
ψυχήν μου, ὅτι διελεύσομαι ἐν τόπῳ σκηνῆς
θαυμαστῆς ἕως τοῦ οἴκου τοῦ Θεοῦ.

Ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως,
ἤχου τοῦ εὐωχουμένου [illegible].

Ἵνα τί περίλυπος εἶ ἡ ψυχή μου; καὶ ἵνα τί
συνταράσσεις με;

Ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι
αὐτῷ· σωτήριον τοῦ προσώπου μου καὶ ὁ Θεός μου.

Πρὸς ἐμαυτὸν ἡ ψυχή μου ἐταράχθη· διὰ τοῦ-

το μνησθήσομαί σου ἐκ γῆς Ἰορδάνου καὶ Ἑρμω-
νιὶμ ἀπὸ ὄρους μικροῦ.

Ἄβυσσος ἄβυσσον ἐπικαλεῖται, εἰς φωνὴν
τῶν καταρρακτῶν σου.

Πάντα τὰ ὑψηλά σου καὶ τὰ κύματά σου ἐπ'
ἐμὲ διῆλθον.

Ἡμέρας ἐντελεῖται Κύριος τὸ ἔλεος αὐτοῦ,
καὶ νυκτὸς τὸ ᾆσμα αὐτοῦ.

Παρ' ἐμοὶ προσευχὴ τῷ Θεῷ τῆς ζωῆς μου.
Ἐρῶ τῷ Θεῷ· ἀντιλήπτωρ μου εἶ.

Διατί μου ἐπελάθου; καὶ ἱνατί σκυθρωπάζων πο-
ρεύομαι ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν μου;

Ἐν τῷ καταθλᾶσθαι τὰ ὀστᾶ μου, ὠνείδιζόν με
οἱ θλίβοντές με οἱ ἐχθροί μου.

Ἐν τῷ λέγειν αὐτούς μοι καθ' ἑκάστην ἡμέραν,
Ποῦ ἐστιν ὁ Θεός σου; ἱνατί περίλυπος εἶ ἡ ψυ-
χή μου; καὶ ἱνατί συνταράσσεις με;

Εἶπον τῷ Θεῷ ὅτι νῦν ἐξομολογήσομαι αὐ-
τῷ [illegible] τὸ πρόσωπόν μου καὶ ὁ Θεός μου.
Ἀνάπαυσιν [illegible] κτλ
[illegible]
Στίχ. Μὴ παραδῷς θηρίοις ψυχὴν τὰς ἐ-
ξομολογουμένην σοι
Ἀλλ. Καὶ τὰς τῶν πενήτων σου ψυχὰς μὴ
καταπονήσῃς εἰς τέλος. [illegible]
[illegible]
Τὸ πνεῦμά μου λεπτυνθήσεται, αἱ ἡμέραι μου
[illegible] καὶ [illegible]
[illegible] ἐν ταῖς πικρότησι δια-
[illegible] μου [illegible]
με παρὰ σοῦ [illegible]
ὅλως πρὸς ἐμέ. Αἱ ἡμέραι μου παρῆλθον ἐν
διάνοιαί μου [illegible]
[illegible] Νίαλχ [illegible]

καὶ πάλιν μετὰ σχοίνω ἐλπίζω φησί· Ἐὰν
ἐὰν ὑπομένω, ᾅδης μου ὁ οἶκος, ἐν δὲ
γνόφῳ ἔστρωσα τὸ κλινίδιόν μου. Τῇ [illegible]
φει εἶπα· πατήρ μου εἶ, μήτηρ μου καὶ ἀδελ-
φή μου τοῖς σκώληξι. Ποῦ ἔτι οὖν ἐστὶν ἡ ἐλ-
πίς μου καὶ τὴν ὑπομονήν μου τίς ὄψεται.
Ἀποκ. Ἀμαρτάνοντά με καθ' ἑκάστην ἡμέραν
καὶ μὴ μετανοοῦντα ὁ [illegible] [illegible] συνταράσσει
με [illegible] [illegible] [illegible] [illegible]
ἐλέησόν με ὁ Θεὸς καὶ σῶσόν με.
Ϛ γ. Ὁ Θεὸς ἐν τῷ ὀνόματί σου σῶσόν με, καὶ
ἐν τῇ δυνάμει σου ῥῦσαί με. Ὁ [illegible].
Αἰσχυνθήτωσαν [illegible] [illegible]
Ἐπὶ [illegible] μου, [illegible] τῶν [illegible].
προσέχοντα τὸ [illegible] καὶ [illegible]
[illegible] [illegible] [illegible] [illegible]
[illegible] [illegible] [illegible] [illegible] τοῦ [illegible]

φίλοι μου· ἡ γὰρ χεὶρ Κυρίου ἡ ἁψαμένη μου
ἐστιν. Διατί με διώκετε ὥσπερ καὶ ὁ Κύριος, ἐκ
ἀπὸ δὲ σαρκῶν μου ἐμπίπλασθε. Τίς γὰρ ἂν
δώη τοῦ γραφῆναι τὰ ῥήματά μου. Τίς δὲ ἂν
δώη τοῦ τεθῆναι αὐτὰ ἐν βιβλίῳ ἐν γραφίδι
σιδηρᾷ καὶ τὸν ἐλέφαντα μολύβδῳ ἢ τῷ σμι-
λίῳ ἐπὶ πέτρας ἐγγλυφῆναι. Οἶδα γὰρ ὅτι ὁ
λυτρωτής μου ἀθάνατός ἐστι καὶ ἐν ἐσχάτῃ ἡ-
μέρᾳ ἐκ τῆς γῆς ἀναστήσομαι καὶ πάλιν πε-
ριβληθήσομαι τὸ δέρμα μου καὶ ἐν σαρκί μου
ὄψομαι τὸν Θεόν μου ὃν ὄψεσθαι μέλλω ἐγὼ
αὐτὸς καὶ οἱ ὀφθαλμοί μου θεάσασθαι μέλλου-
σι καὶ οὐκ ἄλλος· αὕτη [illegible] ἐλπίς μου
[illegible] κόλπῳ μου.

[illegible] τὴν πρᾶξίν μου [illegible]
[illegible] ἐξ [illegible]
[illegible]

Σὺ ὁ Θεὸς ἐξάλειψης τὸ ἀνόμημά μου.

ιγ Ἐπὶ πλεῖον πλῦνόν με Κύριε ἀπὸ τὴν ἀνο-
μίας, ἢ ἀπὸ τὰ ἁμαρτήματά μου καθαρισόν με. Οπ [illegible]

Ἀνάγνωσις ἐννάτη. Ἰὼβ ι' [illegible]

[illegible]

ἐν ταῖς τῆ σχολῆ ποίναις

[illegible] Βοῶντες καὶ [illegible] ἦλθες [illegible]

τὸ φῶς [illegible]

[illegible]

[illegible] ἀποχρίσις [illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible] τὸν [illegible]

[illegible] καὶ [illegible]

τὰν οἱ οὐρανοὶ κτλ.

[illegible]

[illegible]

[illegible]

Ἡ Ἀνάπαυσιν αἰώνιον [illegible] αὐτοῖς Κύριε [illegible]

[illegible] αὐτοῖς

Ἀπόκρ. Ῥῦσαί με Κύριε [illegible]

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

[illegible] Ἀλληλούια.

Ἀγαλλιάσονται τῷ Κυρίῳ ὀστᾶ τεταπεινωμένα

Ψαλμὸς ν'.

Ἐλέησόν με ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου

ἐποίησα· ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λό-
γοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.
Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁ-
μαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.
Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα
καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.
Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι· πλυ-
νεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.
Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην· καὶ
ἀγαλλιάσονται ὀστᾶ τεταπεινωμένα.
Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρ-
τιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.
Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός, καὶ
πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.
Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ πνεῦ-
μα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.
Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ

πνεύματι ἡγεμονικῷ στήριξόν με
διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς
ἐπὶ σὲ ἐπιστρέψουσι.
Ρῦσαί με ἐξ αἱμάτων ὁ Θεὸς ὁ Θεὸς τῆς σωτηρίας
μου ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.
Κύριε τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου
ἀναγγελεῖ τὴν αἴνεσίν σου
Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἂν ὁλοκαυ-
τώματα οὐκ εὐδοκήσεις
Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον καρδί-
αν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς
οὐκ ἐξουδενώσει
Ἀγάθυνον Κύριε ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών,
καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ
Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφο-
ρὰν καὶ ὁλοκαυτώματα τότε ἀνοίσουσιν ἐπὶ τὸ
θυσιαστήριόν σου μόσχους.

... ζωὴν αἰώνιον. Ἀλλ.

... Ἀγαλλιάσονται τῷ Κυρίῳ ...

... Εἰσάκουσον Κύριε τῆς προσευχῆς μου πρὸς σὲ πᾶσα ἡ σὰρξ ἥξει.

Ψαλμὸς ξδ'.

Σοὶ πρέπει ὕμνος ὁ Θεὸς ἐν Σιών, καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν Ἱερουσαλήμ.

Εἰσάκουσον προσευχῆς μου πρὸς σὲ πᾶσα ἡ σὰρξ ἥξει.

Λόγοι ἀνόμων ὑπερεδυνάμωσαν ἡμᾶς καὶ ταῖς ἀσεβείαις ἡμῶν σὺ ἱλάσῃ.

Μακάριος ὃν ἐξελέξω καὶ προσελάβου κατασκηνώσει ἐν ταῖς αὐλαῖς σου.

Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου ἅγιος ὁ ναός σου θαυμαστὸς ἐν δικαιοσύνῃ.

Ἐπάκουσον ἡμῶν ὁ Θεὸς ὁ σωτὴρ ἡμῶν ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλ...

Ἰάσση μάχαιραι.

Ἐπιστηρίζων ὄρη ἐν τῇ ἰσχύϊ σου περιεζωσμένοι ἐν δυναστείᾳ, ὁ συνταράσσων τὸ κύτος τῆς θαλάσσης, ἤχους κυμάτων αὐτῆς.

Ταραχθήσονται τὰ ἔθνη καὶ φοβηθήσονται οἱ κατοικοῦντες τὰ πέρατα ἀπὸ τῶν σημείων σου· ἐξόδους πρωΐας καὶ ἑσπέρας τέρψεις.

Ἐπεσκέψω τὴν γῆν καὶ ἐμέθυσας αὐτήν, ἐπλήθυνας τοῦ πλουτίσαι αὐτήν.

Ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων· ἡτοίμασας τὴν τροφὴν αὐτῶν, ὅτι οὕτως ἡ ἑτοιμασία αὐτῆς.

Τοὺς αὔλακας αὐτῆς μέθυσον, πλήθυνον τὰ γεννήματα αὐτῆς· ἐν ταῖς σταγόσιν αὐτῆς εὐφρανθήσεται ἀνα. Νοεα

Εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου, καὶ τὰ πεδία σου πλησθήσονται πιότητος.

Πιανθήσεται τὰ ὄρη τῆς ἐρήμου καὶ ἀγαλλία=
σιν οἱ βουνοὶ περιζώσονται.
Ἐνεδύσαντο οἱ κριοὶ τῶν προβάτων καὶ αἱ κοι-
λάδες πληθυνοῦσι σῖτον· κεκράξονται καὶ γὰρ
ὑμνήσουσιν.
Ἀνάπαυσιν αἰώνιον κτλ.
Ἀλ... Εἰσάκουσον Κύριε αὐ... κτλ.
Α. 7. Ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου Κύριε

Ψαλμὸς ξβ΄.

Ὁ Θεὸς ὁ Θεός μου πρὸς σὲ ὀρθρίζω
Ἐδίψησέ σοι ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ
σάρξ μου.
Ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ, οὕτως ἐν
τῷ ἁγίῳ ὤφθην σοι τοῦ ἰδεῖν τὴν δύναμίν σου
καὶ τὴν δόξαν σου
Ὅτι κρεῖττον τὸ ἔλεός σου ὑπὲρ ζωάς· τὰ χεί-
λη μου ἐπαινέσουσί σε.

Οὕτως εὐλογήσωσε ἐν τῇ ζωῇ μου, καὶ ἐν τῷ
ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου.
Ὡσεὶ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυ-
χή μου, καὶ χείλεσιν ἀγαλλιάσεως αἰνέσει τὸ
στόμα μου
Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν
τοῖς ὄρθροις ἐμελέτων εἰς σέ, ὅτι ἐγενήθης
βοηθός μου
Καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσο-
μαι ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου ἐμοῦ δὲ
ἀντελάβετο ἡ δεξιά σου.
Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου, εἰσ-
ελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς, παραδοθήσονται
εἰς χεῖρας ῥομφαίας, μερίδες ἀλωπέκων ἔσονται.
Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ ἐπαι-
νεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ, ὅτι ἐνε-
φράγη στόμα λαλούντων ἄδικα.

Ψαλ. ὁ ξϛ.

Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς
ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐλεή-
σαι ἡμᾶς

Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθ-
νεσι τὸ σωτήριόν σου.

Ἐξομολογησάσθωσάν σοι λαοὶ ὁ Θεός, ἐξομο-
λογησάσθωσάν σοι λαοὶ πάντες

Εὐφρανθήτωσαν καὶ ἀγαλλιάσθωσαν ἔθνη, ὅτι κρι-
νεῖς λαοὺς ἐν εὐθύτητι καὶ ἔθνη ἐν τῇ γῇ ὁδηγήσεις

Ἐξομολογησάσθωσάν σοι λαοὶ ὁ Θεός, ἐξομολογη-
σάσθωσάν σοι λαοὶ πάντες· γῆ ἔδωκε τὸν καρ-
πὸν αὐτῆς.

Εὐλογήσαι ἡμᾶς ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, εὐλογή-
σαι ἡμᾶς ὁ Θεὸς καὶ φοβηθήτωσαν αὐτὸν πάν-
τα τὰ πέρατα τῆς γῆς

Ἀνάπαυσιν αἰώνιον κτλ.

Α´ π. Ἐμοῦ δὲ ἀντελάβετο ὡς αν...

...Ἀπὸ τῆς πύλης ᾅδου ῥῦσαι Κύριε τὴν ψυχήν μου.

Προσευχὴ Ἐζεκίου – Ἡσαΐας Κεφ...

Ἐγὼ εἶπα ἐν τῷ ἡμίσει τῶν ἡμερῶν μου· πορεύσομαι εἰς πύλας ᾅδου

Ἐξήτησα τὰ ἔτη τὰ ἐπίλοιπά μου· εἶπα οὐκέτι μὴ ὄψομαι Κύριον τὸν Θεὸν ἐπὶ γῆς τῶν ζώντων

Οὐκέτι μὴ σκοπήσω ἄνθρωπον, καὶ οἰκήτορα της ἡσυχίας.

Ἡ συγγένειά μου ἐφηρέθη καὶ συνεπλέχθη ὑπ' ἐμοῦ, ὥσπερ σκηνὴ νομέων

Ἐπεκόφθη ὡσπερεὶ ὑπὸ τοῦ ὑφαίνοντος ἡ ζωή μου ἐν τῷ ὑφαίνειν ἤδη ὑποκόπτει με· ἀπ' ὄρθρου μέχρι ἑσπέρας καταλύσεις με

Ἤλπιζον ἕως πρωΐ· ὡς λέων οὕτως συνέτριψε πάντα τὰ ὀστᾶ μου.

Ἀπ' ἐχθρῶν μέχρι ἑσπέρας καταλύσεις με· ὅτι ὡς
νεοσσὸς τῆς χελιδόνος οὕτως φωνήσω, μελετή-
σω ὡς περιστερά.
Ἐξεπλύνθησαν οἱ ὀφθαλμοί μου, βλέποντες
εἰς τὸ ὕψος.
Κύριε βίαν ὑπομένω, ἀντείπον ὑπὲρ ἐμοῦ· τί
λέξω ἢ τί ἀνακρινεῖταί μοι ἐὰν αὐτὸς ποιήσῃ;
Διανοήσω σοι πάντα τὰ ἔτη μου ἐν πικρότη-
τι τῆς ψυχῆς μου.
Κύριε τί ὅλως βιοῦται, καὶ ἐν τοιούτοις ἡ ζωὴ
τοῦ πνεύματός μου· ἐπιτιμήσεις μοι καὶ ζωοποιή-
σεις με· ὅτι ἰδοὺ ἐν εἰρήνῃ ἡ πικρότης μου πικρο-
τάτη.
Σὺ γάρ μου εἵλου τὴν ψυχὴν ἵνα μὴ ἀπόλη-
ται, καὶ ἐπέρριψας ὀπίσω σου πάσας τὰς ἁμαρτίας.
Ὅτι οὐκέτι ᾅδης ἐξομολογήσεταί σοι, οὐκέτι θά-
νατος ἐπαινήσει σε· οὐκ ἀναμενοῦσιν οἱ κατα-

βαίνοντες εἰς λάκκον τὴν ἀλήθειάν σου

Ὁ ζῶν ὁ ζῶν αὐτὸς ἐξομολογήσεταί σοι καθά-
περ κἀγὼ ἀπὸ τῆς σήμερον· πατὴρ τοῖς υἱοῖς γνω-
ρίσει τὴν ἀλήθειάν σου

Κύριε σῶσαί με, καὶ τὰς ᾠδὰς ἡμῶν ψαλοῦμεν πάσας τὰς ἡμέρας ζωῆς ἡμῶν ἐν οἴκῳ τοῦ Κυρίου.

Ἀνάπαυσιν αἰώνιον κτλ

Ἀλλ. [illegible]

Ἀντίφωνον. Πᾶσα ἡ πνοὴ αἰνεσάτω τὸν Κύριον.

Ψαλμὸς ρμη'. 148.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις

Αἰνεῖτε αὐτὸν πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτὸν πᾶσαι αἱ δυνάμεις αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἥλιος καὶ σελήνη· αἰνεῖτε αὐτὸν πάντα τὰ ἄστρα καὶ τὸ φῶς.

Αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὰ
ὕδατα πάντα τὰ ὑπεράνω τῶν οὐρανῶν αἰνε-
σάτωσαν τὸ ὄνομα Κυρίου.
Ὅτι αὐτὸς εἶπε καὶ ἐγενήθησαν, αὐτὸς ἐνετεί-
λατο καὶ ἐκτίσθησαν.
Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα
τοῦ αἰῶνος, πρόσταγμα ἔθετο καὶ οὐ παρελεύσε-
ται.
Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ
πᾶσαι ἄβυσσοι.
Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγί-
δος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.
Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφό-
ρα καὶ πᾶσαι αἱ κέδροι.
Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ
πετεινὰ πτερωτά.
Βασιλεῖς τῆς γῆς καὶ πάντες οἱ λαοί, ἄρχοντες

καὶ πάντες οἱ κριταὶ γῆς.
Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νε=
ωτέρων αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου· ὅτι
ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.
Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ τοῦ οὐρανοῦ καὶ τῆς γῆς,
καὶ ὕψωσε κέρας λαοῦ αὐτοῦ.
Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσρα=
ὴλ λαῷ ἐγγίζοντι αὐτῷ.

Ψαλμὸς ρμθ΄ (ρμθ).

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐ=
τοῦ ἐν ἐκκλησίᾳ ὁσίων
Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν,
καὶ οἱ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασι=
λεῖ αὐτῶν
Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν
τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.
Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ, καὶ ὑψώ=

σει πραεῖς ἐν σωτηρίᾳ.
